*πάθος ἐλεησάντων, ἀνῆκεν ἐκ τοῦ αἵματος ⟨τῆς ῥοιᾶς⟩ τὸ δένδρον ἡ γῆ· τὸν δὲ πατέρα γεγονότα ἴκτινον φεύγειν ἄποθεν τὰς τῆς συμφορᾶς ὑπομνήσεις, καὶ οὐκ ἐθέλειν ἐπικαθῆσθαι τῷ δένδρῳ.*

**8.** *Οἱ δὲ ὄρνεις οἱ μέμνονες γένος μὲν τῶν μελαντάτων Αἰθιόπων εἰσί, τὴν δὲ Αἰθιοπίαν ἀπολιπόντες, ὡς πρὸς γονὴν αὐτοῖς δι' ὑπερβολὴν θέρμης ἀχρεῖον, καὶ οὐδὲ θέλοντες ἐν αὐτῇ ποιεῖν καλιάς· τὰ γὰρ ᾠὰ πάντως εὐθὺς ὁ ἥλιος καταφλέγει· πρὸς τὸν βορρᾶν καὶ τὴν Θρᾴκην ὁρμῶ-*
110]*σιν· εἰς δὲ τὸν Ἑλλήσποντον ἀφικόμενοι καὶ τὴν Τροίαν, ἐπὶ τοῦ τάφου τοῦ Μέμνονος ἀγωνίζονται πρὸς ἀλλήλους, καὶ τὸν ἀπὸ τῶν πτερύγων ἦχον ἀσπίδων ἄν τις ἀπεικάσειε κτύπῳ. εἶτα τῆς μάχης λήξαντες περὶ τὸν ῥόον τοῦ Αἰσήπου ἀπολούονται κονίζονταί τε ἐπὶ τῆς ψάμμου περιστρεφόμενοι, καὶ τῷ τάφῳ τοῦ Μέμνονος ἐφιζήσαντες ταῖς ἡλιακαῖς ξηραίνουσιν ἀκτῖσι τὰς πτέρυγας, τήν τε ἐν αὐταῖς κόνιν ἐπὶ τῷ τοῦ Μέμνονος σπείρουσι τάφῳ, δεικνύντες, οἶμαι, κἀντεῦθεν, ὡς ἐξ ἀνδρῶν μεταβληθέντες εἰς ὄρνεις οὔτε τῆς βασιλικῆς τιμῆς, οὔτε τῆς πολεμικῆς ὀλιγωροῦσι μελέτης.*